καταμανθάνοντα τὴν ψυχὴν εἴ τι τῶν ὀχληρῶν ἀποτεθειμένη
καὶ περιττῶν ἐλαφροτέρα γέγονε καὶ ἡδίων. ‘οὔτε γὰρ βαλα-
νείου’ φησὶν ὁ Ἀρίστων ‘οὔτε λόγου μὴ καθαίροντος ὄφελός
ἐστιν.’

9. Ἡδέσθω μὲν οὖν ὑπὸ λόγων ὠφελούμενος ὁ νέος· οὐ
δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος, οὐδ’ οἴεσθαι
δεῖν ἐκ σχολῆς ἀπιέναι φιλοσόφου ‘μινυρίζοντα καὶ γεγανω- C
μένον’, οὐδὲ ζητεῖν μυρίζεσθαι δεόμενον ἐμβροχῆς καὶ κατα-
πλάσματος, ἀλλὰ χάριν ἔχειν, ἐάν τις ὥσπερ καπνῷ σμῆνος
λόγῳ δριμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέ-
μουσαν ἐκκαθήρῃ. καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παν-
τάπασιν ἡδονὴν ἐχούσης καὶ πιθανότητα λέξεως παραμελεῖν.
ἐλάχιστα τούτου φροντιστέον ἐστὶ τῷ νέῳ, τό γε πρῶτον. ὕστε-
ρον δέ που, καθάπερ οἱ πίνοντες, ὅταν παύσωνται διψῶντες,
τότε τὰ τορεύματα τῶν ἐκπωμάτων ὑποθεωροῦσι καὶ στρέφου-
σιν, οὕτως ἐμπλησθέντι δογμάτων καὶ ἀναπνεύσαντι δοτέον
τὴν λέξιν εἴ τι κομψὸν ἔχει καὶ περιττὸν ἐπισκοπεῖν. ὁ δ’ D
εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος ἀλλὰ τὴν λέξιν
Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνὴν ὅμοιός ἐστι μὴ βουλομένῳ
πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγγεῖον ἐκ τῆς Ἀττικῆς κωλιάδος
ᾖ κεκεραμευμένον, μηδὲ ἱμάτιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ
προβάτων Ἀττικῶν εἴη τὸ ἔριον, [ἀλλ’] ὥσπερ ἐν τρίβωνι
Λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ καθήμενος ἄπρακτος καὶ
ἀκίνητος. ταῦτα γὰρ τὰ νοσήματα πολλὴν μὲν ἐρημίαν νοῦ
καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερθρείαν καὶ στωμυλίαν ἐν
ταῖς σχολαῖς πεποίηκε, τῶν μειρακίων οὔτε βίον οὔτε πρᾶξιν E
οὔτε πολιτείαν φιλοσόφου παραφυλαττόντων ἀνδρός, ἀλλὰ
λέξεις καὶ ῥήματα καὶ τὸ καλῶς ἀπαγγέλλειν ἐν ἐπαίνῳ τιθε-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/91 UNIVERSITÄT LEIPZIG